**ZOOLOGIE** | **HÉRODOTE – *HISTOIRES* II, 68 (450-425 AV.JC)**

Τῶν δὲ κροκοδείλων φύσις ἐστὶ τοιήδε. Τοὺς χειμεριωτάτους μῆνας τέσσερας ἐσθίει οὐδέν, ἐὸν[1] δὲ τετράπουν χερσαῖον καὶ λιμναῖον ἐστί. Τίκτει μὲν γὰρ ᾠὰ ἐν γῇ καὶ ἐκλέπει, καὶ τὸ πολλὸν τῆς ἡμέρης διατρίβει ἐν τῷ ξηρῷ, τὴν δὲ νύκτα πᾶσαν ἐν τῷ ποταμῷ· θερμότερον γὰρ δή ἐστι τὸ ὕδωρ τῆς τε αἰθρίης καὶ τῆς δρόσου. Πάντων δὲ τῶν ἡμεῖς ἴδμεν[2] θνητῶν τοῦτο ἐξ ἐλαχίστου μέγιστον γίνεται· τὰ μὲν γὰρ ᾠὰ χηνέων οὐ πολλῷ μέζονα τίκτει, καὶ ὁ νεοσσὸς κατὰ λόγον τοῦ ᾠοῦ γίνεται, αὐξανόμενος[3] δὲ γίνεται καὶ ἐς ἑπτακαίδεκα πήχεας[4] καὶ μέζων ἔτι. Ἔχει δὲ ὀφθαλμοὺς μὲν ὑός, ὀδόντας δὲ μεγάλους καὶ χαυλιόδοντας κατὰ λόγον τοῦ σώματος. Γλῶσσαν δὲ μοῦνον θηρίων οὐκ ἔφυσε[5], οὐδὲ κινέει τὴν κάτω γνάθον, ἀλλὰ καὶ τοῦτο μοῦνον θηρίων τὴν ἄνω γνάθον προσάγει τῇ κάτω. Ἔχει δὲ καὶ ὄνυχας καρτεροὺς καὶ δέρμα λεπιδωτὸν ἄρρηκτον ἐπὶ τοῦ νώτου. Τυφλὸν δὲ ἐν ὕδατι, ἐν δὲ τῇ αἰθρίῃ ὀξυδερκέστατον.

---

1 Forme ionienne pour ὄν, participe présent neutre de εἰμι.
2 Τῶν = ὧν (proposition relative) / ἴδμεν = ἴσμεν : *de toutes les créatures mortelles que nous connaissons*
3 *En grandissant* (participe présent passif)
4 Jusqu'à dix-sept coudées, soit 17 x 0,44m = environ 7,50 m.
5 Indicatif aoriste - *litt.* il n'a pas poussé de langue = *il n'a pas de langue*